UiO Institutt for filosofi, idé- og kunsthistorie og klassiske språk
Det humanistiske fakultet

# EKSAMEN I GRE1401 Attisk prosa HØST 2013

Oppgaven består av 2 sider.

Fredag 11. oktober (4 timer) **Ingen hjelpemidler**

Alle spørsmål skal besvares

Lysias 1.27–29

οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν ὧνπερ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ’ ἐπὶ τὴν ἑστίαν καταφυγών, ὥσπερ οὗτοι λέγουσι· πῶς γὰρ ἄν, ὅστις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς, περιέστρεψα δ’ αὐτοῦ τὼ χεῖρε, ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἐδύνατο, οὔτε σίδηρον οὔτε ξύλον οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο. ἀλλ’, ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν ἀληθῆ, ἀλλ’ αὐτοὶ ψευδόμενοι καὶ τὰ τοιαῦτα μηχανώμενοι ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον. ΝΟΜΟΣ

οὐκ ἠμφεσβήτει, ὦ ἄνδρες, ἀλλ’ ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντεβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ’ ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

Oppgave 1. Oversett teksten

**KANDIDATEN BES SKRIVE TYDELIG MED PENN**

Oppgave 2. Grammatiske spørsmål

a. Bestem form og angi grunnform for følgende verbformer: ἔτυχεν, ἠμφεσβήτει, ἀνάβητε.

b. τούτων – hvilken kasus? Hvorfor?

c. ὑμᾶς – hvilken kasus? Hvorfor?

d. χρήματα – hvilken kasus? Hvorfor?

e. Hva slags bisetning innleder ὅτι?

Oppgave 3. Tekstutdraget kommer fra leddet mellom to av de fire delene som Lysias I kan analyseres i. Hvilke deler er disse? Hva utmerker de to delene? Hvilke middel brukes – av talere i allmennhet og av Eufiletos i særdeleshet – for å overbevise i de to delene?